XHHHHHH [- -] || - - ο . . . λ - - | [- -] ἄτει HH = —, Καλλιδίκωι HHH [- -, | - - Ἀ]ργεῖος ἥλετο τοῦ σακοῦ ἐργα[σίαν] XXXHH | [. ., ἔγγυος Ἐπίσ]τρατος, Δέξανδρος. Πολέμαρχο[ς Σ]τυμφά|[λιος ἥλετο ἔνκαυ]σιν τᾶς περιστάσιος X = = —, ἔγγυος Λ[υκῖ]νος. Λύκι|[ος Κορίνθιος ἥλε]το τᾶς ἐλάτας παροχὰν XXXXHHH = = = = —, ἔγγυ|[ος Ἀριστόκρι]τος. Τυχαμένης Κρὴς ἥλετο κυπαρίσου παροχὰ|[ν - -]. Εὐτε[ρπί]δας Κορίνθιος ἥλετο τὸν σκῦρον ἐς τὸ ἐργαστή|[ριον ταμ]ὲν καὶ ἀγ[αγ]ὲν καὶ συνθέμεν HHHHH = = = = : ||||, [ἔγγυ]ος Ἐπίστ|[ρατος]. Κλεανδρίδ[ας Κ]ορίνθιος ἥλετο τοῦ σακοῦ τὰν καταξοὰν τὰ ἔν|[δοι] τοῦ θυρέτρου H[HHH] H = = = —, ἔγγυος Κλείδικος. Δόρκων Κορίνθιος ἥλετο | ἔνκαυσιν τοῦ σακ[οῦ . .] HHH = =, ἔγγυος Κλεάνωρ. Ἄλλου ἐνιαυτοῦ Θεοδότ|ωι HHH = = — ⁝. Δα . . . οος ἕλετο δοκοὺς ἐς τὸ ἐργαστήριον HH = = | = = — : : : : · |||||, ἔ[ν]γυος Τιμόδαμος. Λυσικράτης ἕλετο στορὰν | ταμὲν καὶ ἀγ[αγὲ]ν καὶ συνθέμεν τῶι στρώματι HHHHHHHH = = : · ||, || ἔγγυος Εὐδ[αμί]δα[ς], Λακρίνης. Φαῦλλος ἕλετο τοῦ ἐργαστ(η)ρίου τὰν | ἐργασίαν H . . = = = : : : :, ἔνγυος Δωριεύς. Τιμόθεος ἕλετο τύπ|ους ἐργάσα[σ]θαι καὶ παρέχεν HHHHHHHHH, ἔγγυος Πυθοκλῆς. Ἀρχέστ|ρατος ἕλ[ε]το θύρωσιν τοῦ ἐργαστηρίου HH ·— : : : : ·, ἔνγυος Ἀρίσταρχο|ς. Σαμίων ἕλετο ἄλινσιν τοῦ ἐργαστηρίου καὶ κονίασιν = = = : : : :, ἔγγυος || Ἐπίστ[ρ]ατος. Μνασίλαος ἕλετο λατομίαν τῶι στρώματι καὶ τᾶι | πο[ιστ]άσει ταμὲν καὶ ἀγαγὲν XXXXHHH =, ἔγγυος Λακρίνης, Πυάνθη|[ς. Θεό]τιμος ἕλετο τᾶς ὑπωροφίας τὰν ἐργασίαν HHHH = = = = —, | [ἔγγ]υος Ἀριστοκράτης. Σώταιρος ἕλετο ἅλους καὶ χοινίκας ἐς τὸ | [ἐρ]γαστήριον HH — : : : · ||. Σώταιρος ἕλετο πελέαν καὶ λωτὸν || [κ]αὶ πύξον ἐς τὰς θύρας καὶ τὸ ἐργαστήριον HHHHHHHH = =. Θρασυ|μήδης ἕλετο τὰν ὀροφὰν τὰν ὑπένερθε κα[ὶ] τὸ θύρωμα τὸ ἔνδοι καὶ τὰν | διαστύλωσιν ἐργάσασθαι XXXXXXXXXHHHH HHHH, ἔγγυος Πυθοκλῆς, Θεοφείδης, Ἀγέμων. Εὐκλέων ἕλετο κεραμῶσαι τὸν ναὸν HH = = = : · |||| : : : · |||. Εὔδαμος ἕλετο ὀδοὺς παρέχεν HHHHHHH, ἔγγυος Θιάρη[ς]. Τρο||χιλείων Ἀρχεδάμωι HH = = = κόλλας ἐ[ς] τὰς θύρας καὶ τὰν ὕλαν | τὰν ὑπέ(νερ)θεν HHHHHHHH ⁝ ||. Ἐνκαύσιος ἀκάνθων Δόρκωνι, Ἀναξί|λαι, Ξενοφῶνι, Πρωταγόραι HHH — :. Ἐχέτιμος ἕλετο τὰν στρῶ|σιν τοῦ ναοῦ HHHHHHH = = : : : : ·, ἔγγυος Καλλίας, Ἀτλατίδας. | Θεοδότωι ἄλλον ἐνιαυτοῦ HHH

= = — ⁝, *Μνασικλείδας εἵλε‖το κέραμον* BBBBBBB = = = = — : : : : ·, *ἔνγυος Ἀριστομήδης. Τιμα|σίθεος εἵλετο καταξο[ὰν] τοῦ προδόμου* BB = = = — : : ·, *Ἀξιόχωι | καλυνμάτων πρ(ο)σώπ[ων]* B = : : : :, *Κλεινίαι, Πρωταγόραι, Ἀριστομά|[χ]ωι κυματίων, ἀστραγ[άλ]ων, καλυνμάτων ἄνευν προσώ|πω[ν]* BB = = = — : IIIII. *Πρωτα[γόρα]ς εἵλετο ἔνκαυσιν τοῦ ὑποδοχί‖ου κα(ὶ κ)[υ]ματίου* BBBBBBB = = : : : : ·, *ἔνγυος Σώτιμος. Φρίκων εἵλε|το σίδαρον ἐργάσασθαι [π]οὶ τὰς θύρας ἀνφοτέρας* BBBBBBB : : : :, | *ἔνγυος Ἀριστομίδας. [Δ]αμοφάνης εἵλετο ἅλους καὶ χοινί|κας καὶ δακτυλίο[υς] καὶ ἐπιούρους ποὶ τὰ διαστύλων θυ|ρώματα* XBBBB, *ἔνγυος Ἀριστόφυλος. Σώταιρος εἵλετο ‖ ἐλέφαντα παρέχεν ὁπόσ[ου] κα δῆ(ι) πο(ὶ) τὸ θύρωμα* XXX = = = —. | *Μαρσύας εἵλετο στύλων [κατ]αξοάν, τὰν ἔχθοι καὶ τὰν ἔν|δοι* BBBBB = — : : :, *ἔνγυος Ἀντ[ί]κριτος, Ἀριστόφυλος. Δαμοφῶ|νι καλυνμάτων προσώπω[ν]* = = = =, *Καφισίας εἵλετο | κολλατικὸν τῶι θυρώματι* XX[.]BBBBBB, *ἔνγυος Λυσίων, ‖ Νίκαιος. Κάλις εἵλετο ἐπιξοὰν [το]ῦ στρώματος τοῦ ἔν|δοι καὶ τοῦ προδόμου* H = = —, *ἔνγυος Εὐκλῆς.*

B′.

Δαμοφάνης εἵλετο τῶι μεγάλωι [θυρώματι] | χοινίκας καὶ πλίνθους καὶ ἐπιούρ[ους - - -]. Δαμοφά|νης εἵλετο δακτυλίους τοῖς γυγλύμ[οις ἐς τὸ] μέγα θύ‖ρωμα BB = = = = ⁝ : -. *Ἀπολλωνίδας εἵλετο φάρξιν τοῦ | ναοῦ* = = = = : : : -, *ἔνγυος Ἀριστόκριτος. Σωκλῆς εἵλετο | καλύνματα ἄ[νευν] προσώπων γράψαι καὶ κυμάτια καὶ | ἀστραγάλους* [..] — : : : ·, *ἔνγυος Πολέας. Εὐκράτης | εἵλετο ἀσπίδα κ[αὶ] ἀνπαιστῆρα τῶι μεγάλωι θυρώματι ‖* BB — : : : : ·, *ἔνγυος Ἀριστόκριτος. Ἰκαδίων εἵλετο κέραμον |* BB — : · II, *ἔνγυος . . . αν. Φίλαργος εἵλετο κονίασιν* BBBBBB — : : ·, | *ἔνγυος Ἀρίστρα[τος, Π]εισ[ί]λαος. Κλεινίας εἵλετο κυμάτια | καὶ ἀστραγάλους καὶ κάλχας καὶ ἀστέρας χρυσῶσαι |* B = = = — : : -, *ἔνγυος [Π]υθοκλῆς. Γοργίας εἵλετο ἐπιξοὰν ‖ τοῦ στ[ρώ]ματ[ος] τοῦ ἔχ[θ]ω καὶ τοῦ σακοῦ καταξοὰν | τὰ ἔξω* BBBBBBBB = · II, *ἔνγυος* ΟΛΙΠΙΔΑΣ, *Ἄλεξος. Χρυσίου | ἐς τοὺς ἀστέρα[ς]* = = = : : I. *Εὐφραίωι κεράμου* B = =. *Χαῖρις εἵ|λετο κρηπῖδος καταξοὰν* = = = : : (Freier Raum).

- - *ας ἕλετο κερκίδα τοῦ αἰετοῦ ἐργάσασθαι* XBBBBBB —, ‖ *ἔνγυος Φιλοκάλας, Τιμοκλείδας. Τιμόθεος ἕλ[ετο τἀκρω]|τ(ή)-*

ϱια ἐπὶ τὸν ἅτερον αἰετὸν [X]XHH = = =, ἔγγυος Πυϑ[οκλῆς, Λαμέδ|ω]ν. Θιόσοτος ἕλετο χρυσοῦ χ..ρὸν ἐργάσασϑαι X [- -, ἔγγυος] | Θ[εό]τιμος, Δαμοσϑένης. Δαμοφάνης ἕλετο τῶι με[γάλωι ϑυρώματι | - -] καὶ πίσσας [- -] ιον = —. Πασίϑ[εμις ἕλετο ‖ - - ἐργά]σασϑαι [. . . ., ἔγγ]υος Λα[κρίνης - - | - -] καὶ [- -] HHH — [- -] | ων [καὶ φ]α[τ]νωμ[άτων . . . .] μα . . . . . ων HH. Θεο[τίμωι τῶν ἀκρωτηρίων ἐπὶ] | τὸν ἅτερον αἰετὸν XXHH [=] =, ἔγγυος Θεοξενίδ[ας. - - ἐν αιετί]ων [ἐς] τὸν ἅτερον αἰετὸν [X]XX —, ἔγγυος Θεοξ(ε)νίδ[ας. - - ἕλε]‖το παραιετίδας καὶ ἀγεμόνας καὶ βάϑρα τοῖς [ἀκρωτηρίοις - - | . . .] =, ἔγγυος Ἀτλατίδας, Αἰνέας, Πυρίας, Εὐκλῆ[ς. - - ἕλετο] | ϑ[έμεν] τἀκρωτήρια HH = = = : : ·, ἔγγυος Λυσίω[ν - -]. | Ἀγαϑίνωι XX HHHHHHHH = — : : : :, Λυσίωνι = = —, ΤΘΗΡ [- -] | . . . φαντι HHHHHH = = — : · II, Ἑκτορίδαι = = — : : · [Θεο]δό[τωι ἀρχιτέκτο]‖νι ἐνιαυτοῦ HHH = = —, ἐς τοὺς χρυσέους ἅλους π[ὰρ Ἀσ]κλαπιοῦ [- -], | ἀργυρίου πὰρ Ἀσκλαπιοῦ ΑΘΙ καὶ δραχμαὶ HHHH = — II, . . (.) ναιο πὰρ Εἰβούλ[ου . . . .], | πὸρ Ἁγέμονος = = = —. Ἐξ Ἑρμιόνος XHH = . III ., [μακ]έλλ(ου) ἐργασίας [Πα]σιϑέμι HHH = = : : : : ·, ἔγγυος Ἀντισϑένης, Λαμέδ[ω]ν. Λεοντοκεφαλᾶν | ἐνκαύσιος καὶ τοῦ ναοῦ καϑάρσιος Πρωταγόρα[ι] HHHHH = = = : ·, ἔγγυος ‖ Πυϑοκλῆς. Κλαικὸς ἐς τὸ μέγα ϑύρωμα Δαμοφάνει HH =. Ἄ[λ]λω[ν] | ἐξ μηνῶν Θεοδότωι H = = = — : : ·. Ἀστίας ἔχει μισϑὸν HH = = = : : : . Ἑκτορίδα[ι] | ἐναιετίων τᾶς ἀτέρας κερκίδος XHHHH. Θεοδότ[ω]ι = = = —.

·α´

Ein Zusammenhang lässt sich erst von Z. 164 ab erkennen; in den vorausgehenden Zeilen (114 ff.) sind meist nur einzelne Buchstaben erhalten. Von Z. 164 ab liest man:

Εὐϑύμω[ι κεραμ?]‖ώσιος : :, ξύλων σ[υνϑέσ]|ιος καὶ διαιρέσιο[ς - -,] | δοκῶν συνϑέσιο[ς - -, Θε]|οτίμωι: Γ . . Λ - - | στύλου κατ[αξοᾶς - -,] ‖ Ἀγακλεῖ [ἐ]ρ[γασία]|ς καὶ παρ[οχᾶ]ς - - | : : . IIIII, Φίλωνι [πλιν?]|ϑεύσιος = = [- -], | ἀνγέλωι ἐς - -, ‖ ἐς Τεγέα[ν - -, ἐς Ἑρμι]όνα . . ΜΑ - - [κερά?]|μου = —, [κάρυκι ἐ]|ς Ἄργος - -, ἐς - - | ν . III, Δόρκωνι [στρω]‖τήρων ἀγωγᾶς

β'

Z. 181—203 nur einzelne Buchstaben und Worte erhalten. Z. 203ff. steht:

Κάρυκι εἰς Ἄρ[γος - -,] | ἐς Ἑρμιόνα καὶ Τροζᾶνα: - - ‖ κεράμου διαιρέσι[ος - - | - -] πλίνθων συν[θέ]σιος: - -

Z. 207—218 ebenfalls zu stark zerstört. Z. 218 ff. liest man:

δαπάνα : : ·, δ[ε]σμῶν εἰς τὸ ὑ | - - - -, ἐς Τροζᾶ‖να ΙΙΙΙΙ, λί[θ]ου ΙΙΙ, οἰκοδομήσιος ΙΙ, | - - κλαϊκῶν ἐς τὰς θύρας το|ῦ ἐργαστ[ηρίου - -,] | κάρυκι ΙΙΙ<, δεσμῶν καὶ ἅλων το|ῖς κίφωσιν Φρίκωνι = = : : : ΙΙΙΙ, κυπ|αρίσσου διαιρέσιος ΙΙΙ, κυπαρίσ|σου ἀγωγᾶς : : ·, κάρυκι Ἀπολλ|οδώρωι - -, [Δ]αΐππωι ΙΙΙ, Εὐφάντωι | ξύλου ἀνθέσιος : : -, κάρυκι ἐν Ἑρ|μιόνι ΙΙΙ, γόνφων ἐς τὰς θύρας : : : : ‖ ΙΙΙΙΙ<, κάρυκι εἰς Ἄργος · ΙΙΙΙΙ, λίθων Εὐ|τερπίδαι ἐς τὸν θησαυρὸν καὶ | ὀδοὺς καὶ ὑπὸ τοὺς κύφωνα|ς = — : : : : ΙΙΙ, (Δ)αΐππωι ὑποδοχίου ἐ|ργασίας —. Εὐτερπίδας εἵλε‖το στρωτήρων ἐπικοπὰν = = : : : :, | Φρίκωνι ὀφίων ἐς τὸν θησαυρὸ|ν — : : : ·, κάρυκι ἐν Ἑρμιόνι ΙΙΙ, Ξένωνι πίσσας = = — · ΙΙ, Τιμασιθέωι πισ|σάσιος τῶν κεράμων = = = ΙΙΙΙΙ<, ‖ πίσσας ἀγωγᾶς : : ΙΙΙΙΙ, [κ]άρυκι ΙΙΙΙ, ὀφί|ων ἀκάνθοις ⁝, κόλλας ἀγωγᾶς ΙΙΙ, | χαλκίων ποῖ τοὺς ἀκάνθους ΙΙΙΙ. | Λακρίνει λίθων ποῖ τὸν θησαυρ|ὸν — ·, κυανοῦ Οἰνίλωι = = =, δοκῶ‖ν Λαχάρει = = : - Ι|, Φίλωνι πισσάσ|ιος τοῦ ἐργαστηρίου : : ΙΙΙ, κάρυκι Ι[ΙΙ], ἅλων ἐς τοὺς ἀκάνθους — : ·, πρ|ομνάμονι ΙΙΙΙ, Ἀσφάλτωι λίθων | ὑπὸ τὸν ὀδὸν : : : , Μικύθωι : - ΙΙΙΙ, ἀν‖γέλωι ΙΙΙ, προμνάμονι ΙΙΙ, Ἀντιφίλ|ωι κονιατῆρι παρδειγμάτων = | = =, Ἀρίστωνι ἐφόδια —, Ἰσοδάμ|ωι ἅλων ἐς τὰ φάρχματα : : : : -, Ἀριστόνωι πλίνθων ·, κάρυκι Θήβ|αις ‖, πισσάσιος Ἀρισταίωι θυρᾶ|ν τοῦ ἐργαστηρίου : ΙΙΙΙΙ, Σωταίρωι | ἐφόδια : : : · ΙΙΙΙ, ἀνγέλωι ΙΙΙΙ, κλαϊκὸς | Ἰσοδάμωι : : ·, κάρυκι εἰς Ἄργος · ΙΙΙΙΙ, | κάρυκι εἰς Κόρινθον · ‖, Εὐδάμωι ‖ στάλας ἐργασίας =, Σωταίρωι | ἐφόδια : : :. Ἀριστόνους εἵλετο | κλίμακα ποῖ τὰ διαστύλων θυ|ρώματα ἐργάσσασθαι = = — : : : :, | Λυσίωνι ἐς Ἀθάνας : : :, Ξένο[κ]λεῖ ἀνγέ|[λ]ωι ΙΙΙ<, Πασέαι γραμμάτων ἐνκολ|άψιος κένκαίσιος = — : : : : · |, Ἀρισ[τ]ά|ρχωι καλυμμάτων = = : : ·, ἐφόδια | Σωταίρωι : :, κάρυκι Αἰσχίναι — :, Δαμο‖[φ]άνει κλαϊκὸς — :, Σωταίρωι ἐφόδια —, ‖ [ἐς] Αἴγιναν δαπάνα : : :, Ἀντιλόχωι | [καλ]υμμάτων γροφᾶς = = — : : : ΙΙΙ, Ἰσοδάμωι | [- -] ν σιδάρου = : ΙΙΙ, Εὐκλίνωι κηροῦ : : :, | [- - Σ]ωταίρωι = : · ΙΙΙΙ<, ἀγωγᾶς : ·, ἀνγέλω|[ι] Ἀντιμάχωι

| · <, *Πρωταγόραι κυματίου* : : : : ||, || *Πυρομάχωι βολίμου* : : : |||, *Ἀρισταίωι θυρᾶ*|[*ν*] *ἀκέσιος* ▒, *Ἀρισταίωι ξύλων πεδαφορ*|[*ᾶ*]*ς* : :, *Φειδο*[*κράτε*]*ι κόλλας* ., *Ἀρισταίωι θύ*|[*ρ*]*ας πισάσιο*[*ς*] *καὶ πισᾶν παροχᾶς* — | : : : : ·, *ὀφίοιν* [*ἐνκα*]*ύσιος ἐπὶ τὸ γοργόν*[*ι*]*ο*||*ν* |||, *Λυ*[*σίων*]*ι κάρυκι* : : :, *Φίλωνι* |, *Ἀρισταῖο*|[*ς*] *ἔλ*[*ετ*]*ο τοὐπίλοιπον τοῦ κεραμι*[*κ*]*οῦ κεράμου* | [*κερα μ*]*ῶσαι* = = : : ·, *γροφίδων* :<, *ξύλων ἐ*(*ς*)*φο*|[*ρᾶ*]*ς* : · |||, *Πασιθέμι θυρᾶν ἐκαθάρσιος* : :, *Ξέ*[*ν*]*ωνι βολίμου* — : : : : ·, *Πραξίμ*[*ωι ἀγωγᾶ*]*ς* : : ·, || *Ἰσοδάμωι δεσμῶν* [*τοῖς κύφω*]*σι* = —, *ἀπο*|*τομᾶς* :, *Εὐκλίνωι ἐφ*[*ό*]*δια* —, *ἀνγέλωι* |||||, | *κάρυκι Λυσίωνι* — :, *Ἀρ*[*ιστ*]*αίωι στεγάσιος* | [—] ||, *ἀνγέλωι Εὐαίνωι* :, [*Ἀρχεστ*]*ράτωι* ||.

β″

Ἀρισταίωι κεραμώσιος τοῦ ναοῦ = = =, || *ἐκαθάρσιος Φειδοκράτει* · ||, *ἀνγέλωι Μέλιτι* ||||, *Ἀντιμάχωι* · ||<, *Λαΐππωι* | *ἐφόδια* : : : ·, *Λυσίωνι ἐς Ἀθάνας* : : : :, *Λυσίωνι ἐς Κόρινθον* : ||||, *Δαμοφάνει* | *τροχῶν* : ||||<, *γροφίδων* : : : · |||||Γ, *κάρυκι* ▒<, *Ἀρισταίωι γραμμάτων ἐνκοπᾶς* —, | *προμνάμονι Θράσωνι* · |||, *Ἀρισταίωι στέγας* (*ἐ*)*καθάρ*⟨*ε*⟩*σιος* : . |||, *Νικαίωι κλα*|*ϊκὸς* · ||, *Εὐτύχωι κλαίθρου* ||||, *Εὐκράτει γόνφων ἐς λεοντοκεφαλὰς* || = = : · ||, *κάρυκι ἐς Κόρινθον Θράσωνι* : : : : ▒, *Ἀρισταίωι ξύλων ἐσφορᾶς* · |||, *ἀνγέ*|*λωι* |||<, *παρδείχματος μακέλλου Ἀπολ*[*λο*]*δώρωι* : : ·, *Λαΐππωι ἐφόδια* : :, *Ἀρισ*|*ταίωι κλίμακος ἐσφορᾶς* ▒, *Ἀρισταίωι θ*[*υρᾶ*]*ν ἀκέσιος* :, *κάρυκι ποῖ Θεόδοτον Ἀρι*|*σταίωι* : : : · |||, *Ἀρισταίωι κλίμακος ἐργασία*[*ς*] : ·, *σιδάρου ποῖ τὸ μάκελλον Φρίκωνι* =, | *Κα*(*λ*)*λιδίκωι λατομίας* = = :, *ἀνγέλω*[*ι*] *ἐς Ἑρμιόνα* · |||T, *ἀνγέλωι ἐς Ἑρμιόνα* ▒ ||, | *ἀνγέλωι ἐς Κόρινθον* :, *Λαΐππωι ἐφόδια* : ., *Ἀρισταίωι θησαυροῦ ἐργασίας* = = =, | *δακτυλίων καὶ ἐπιούρων ἐς τὸ μάκελλον Ἀντιφάνει* = = = : : : :, *Πασιθέμι μισθοῦ* | *ποῖ τὰ ἐναιέτια* — :, *βολίμου Ξένωνι* — : ΣΣ, *ἀγωγᾶς* · |||||<ΣΣ, *κάρυκι ἐς Κόρινθον* ▒ | *Ἑκτορίδαι παρδείχματος λεοντο*[*κ*]*εφαλᾶν ἐνκαύσιος* — : : :, *ξύλων* | *ἐσφορᾶς Ἀρισταίωι* · |||||, *ἀγγέλωι* |||, *Ἀ*[*ρι*]*σταίωι στεγάσιος* :, *Κλεινίαι θυρώτοιν* || *λευκώσιος* ·, *θυρώτοιν φορᾶς Ἀ*[*ρι*]*σταίωι* ||||.

Schrift: „*Τὰ σκέλη τοῦ Α δὲν εἶνε ὡς ἐπὶ τὸ πλεῖστον ἰσομεγέθη, οὐδ' ἡ κεραία αὐτοῦ ἀκριβῶς ὁριζοντία . . . συγχέεται ἐνίοτε τῷ Λ ἅτε μὴ ἔχον κεραίαν*“ *Καββ.*; sonst gewöhnliches Alphabet, nur dass O gelegentlich (s. u.) in der Mitte einen Punkt hat.

Zeit: O steht oft für *ου*, selten für *ω*, E für *ει* oder *η* (daher beibehalten) in *ἔλετο;* also um 400.

Zahlen: X = 1000, 🜂 = 100, — = 10 Drachmen, · = 1 Dr.; I = 1 Obol, ‹ oder C = $^1/_2$ Obol. Zweifelhaft ⊓ 292, ‹ 302, AΘI 106, T 299.

Die Arbeiten am Tempelbau und die Lieferungen wurden an den Mindestfordernden vergeben und unter Leitung des *ἀρχιτέκτων* Theodotos ausgeführt. Dieser erhält 353 oder 350 Drachmen jährlich, d. h. eine Drachme täglich. Erwähnt wird er Z. 9, 32, 54, 104 (wenn meine Ergänzung zutrifft), 111 und 112; demnach war er 4 Jahre, 6 Monate und 70 Tage (Z. 112) beschäftigt.

Der zunächst höchst auffallende Wechsel von *ἥλετο*, *ἕλετο* und *εἵλετο* in der wiederkehrenden Formel hängt meiner Ansicht nach mit dem jährlichen Wechsel des Rechnung führenden Beamten (*ναοποιός*, od. ä. vgl. *Dittenberger* Syll. no. 353 note 4, Z 17 u. s.) zusammen, dessen Orthographie der Steinmetz beibehielt. *Ἥλετο* steht Z. 1—32, darin Z. 9 *Θεόδοτος ἀρχιτέκτων ἔχει ἐνιαυτοῦ μισθ[όν]* 🜂🜂🜂 [= = — ⁝], also I. Jahr. *Ἕλετο* 32—54, darin Z. 31 f.: *ἄλλον ἐνιαυτοῦ Θεοδότωι* 🜂🜂🜂 = = — ⁝, also II. Jahr. *Εἵλετο* 54—88, wo der Jahresabschnitt durch einen Absatz bezeichnet ist; darin Z. 54 *Θεοδότωι ἄλλον ἐνιαυτοῦ* 🜂🜂🜂 = = — ⁝, also III. Jahr. *Ἕλετο* wieder 89—104 f., worin 104 f. [*Θεο*]*δό*-[*τωι ἀρχιτέκτο*]|*νι ἐνιαυτοῦ* 🜂🜂🜂 = = —, also IV. Jahr. Sollte meine Herstellung falsch sein, so kann Z. 110 f. *ἄ[λ]λω[ν] ἓξ μηνῶν Θεοδότωι* 🜂 = = — : : · herangezogen werden, weil Z. 105—110 keine solche Formel vorkommt. Z. 111 heisst es *Ἀστίας ἔχει μισθὸν* 🜂🜂 = = = : : :; vielleicht ist A. der *ὑπαρχιτέκτων* (*Dittenberger* Syll. 353_{161}) und bekommt eine halbe Drachme den Tag: dann würde die Summe auf $1^1/_2$ Jahre (d. h. nach meiner Ergänzung Z. 88—111) reichen.

α', *β'* und *β''* enthalten offenbar die kleinen Arbeiten und Lieferungen der ganzen Zeit, auch in zeitlicher Folge. *Εἵλετο* kommt hierin Z. 234 und 262 vor. Die hier erwähnten Arbeiten entsprechen wirklich denen des III. Jahres. Vgl. 233 *ὑποδοχίου* (auch 219?), was nur noch Z. 60 vorkommt. Z. 262 heisst es *Ἀριστόνους εἵλετο κλίμακα καὶ τὰ διαστύλων θυρώματα ἐργάσασθαι* 58 Dr., und eine grosse Ausgabe von 1400 Dr. *ποῖ τὰ διαστύλων θυρώματα* wird Z. 63/64 erwähnt! Auch die Schreibung O = *ω* kommt mit Ausnahme eines zweifelhaften Falles nur in diesen Teilen aus dem III. Jahre vor; siehe zu Z. 56.

Ἕλετο steht 280 f.: *Ἀρισταῖο[ς] ἕλ[ετ]ο τοὐπίλοιπον τοῦ κεραμικοῦ κεράμου [κερα]μῶσαι* 45 Dr. Im III. Jahre gibt es Ausgaben für *κέραμος* 799 Dr. (Z. 55), 213 Dr. 2 Ob. (Z. 80 f.), zum Schluss Z. 86 noch 140 Dr., *τοὐπίλοιπον* fällt also in das 4. Jahr. Zum Beweise, dass die Partie um Z. 280 ins IV. Jahr gehört, darf man vielleicht auch anführen, dass sich grade in diesen Teilen die Schreibung O = O auffallend häufig findet: Z. 92 (vier Mal), 103, 105 (drei Mal), 106 (drei Mal), 109 (zwei Mal) 112 (zwei Mal); andrerseits 271. 274. 275. 277. 280. 281 (sechs Male), 282

(zwei Mal), 290 (zwei Mal), 292. 294. 296. 298. 301. 302 (zwei Mal) 304 (zwei Mal), während sie sonst nur noch Z. 244 und 266 je ein Mal vorkommt.

Z. 1 und 2 sind ganz erloschen. — 4 Vgl. Z. 12. 34. — 5 Vgl. Z. 31; nach Z. 41 von *K.* erg. — 7 Vgl. Z. 48. 11. Am Schluss unsichere Vermutung von *K.* Vgl. Z. 42. 46. — 8 Schl. *K.* ergänzt *Εὐκλῆς* nach Z. 71; *'Ορσίας* nach Z. 6. 18 ebenso möglich. — 9 Da Theodotos täglich eine Drachme erhält, ist = = — ⁝ oder = = — (vgl. zu Z. 104) zu ergänzen. Damit ist aber der Raum fast ausgefüllt und Ergänzung *K.*'s [*ἔγγυος Δᾶ*]|*μος* unmöglich. — 10 Anf. ΜΟΣΜΗΣΙΑΡΕΥΣ ist verschrieben oder verlesen; ein Name *Μησιάρης* oder *Μησιαρεύς* ist ein Monstrum. — 11. 12 Vgl. Z. 33/34. — 15 Vgl. Z. 27. — 19 Archikles (16) nnd Lykios (18) leisten zusammen, was Euterpidas allein (14 f.), empfangen demnach auch ungefähr dasselbe: 4400 + 1600 + — — = 6167, *K.* — 24 *K.* [*ἔνκα*]*υσιν;* zweifelhaft wegen ϽΣΙΝ der Zeichnung. — 25 *K.* nach Z. 5 und 18. — 26 [*'Αριστόκρι*]*τος*: nach Z. 76. 80; [*'Επίστρα*]*τος* (*K.*) wäre zu kurz. — 29/30 Vgl. 46. 85. — 32 ΔΑΛ[illegible]ΝΟΟΣ: *Δαμ*[*οχ;*]*οος* *K.* Etwa **Δάμ*[*αχ*]*θος* oder *Δάμ*[*αν*]*θος*? — 34 *K.* umschreibt die Zahl falsch. — 35 *ἐργαστ*(*η*)*ρίου*: *K.*; Η vom Steinmetzen übergangen; vgl. Z. 28. 38. 39. 45. — 39 *ἄλινσιν· „ἐκ τοῦ ἀλίνω = ἐπαλείφω"* *K.* — 41 f. *Πυάνθης*: vgl. *Πύανθος* bei Suid., oder (*Ε*)*ὐάνθης*? *K.* — 42 *ὑπωρυφίας*: verhält sich zu *ὀροφάν* (46), wie att. *εὐώνυμος* zu *ὄνομα*. — 44 *πελέαν* hat der Stein, *π*(*τ*)*ελέαν* umschreibt *K.* Die neue Form entscheidet die Etymologie für ahd. *fēlawa*, nhd. *Felbe* gegen lat. *tilia*. — 51 *ὑπέ*(*νερ*)*θεν*: ΥΠΕΡΝΕΘΕΝ der Stein; der Steinmetz setzte aus Versehen das Ρ hinter das erste statt hinter das zweite Ε. — 52 *'Αναξί*|*λα* *K.* in der Umschrift. — 56 ΑΞΙΟΧΟΙ. Vgl. ΤΟΙ *θυρώματι* 69, *Τιμασιθέ*ΟΙ *πισσάσιος* ΤΟΝΚΕΡΑΜΟΝ 239, *'Αριστόν*ΟΙ 254, *Λυσί*ΟΝΙ [*ἐς 'Αθάνας* 6 Dr. 264, vgl. *κάρυκι Λυσίωνι* 12 Dr. 287, *Λυσίωνι ἐς 'Αθάνας* 8 Dr. 291], ΘΥΡΘΤΟΙΝ 304. An den Locativ auf *-οι* zu denken, ist unmöglich wegen der anderen 3 Fälle. Alle Beispiele gehören dem III. Jahr an, ausser *θυρώτοιν*, bei welchem das dicht dabei stehende ΘΥΡΩΤΟΙΝ (303) den Gedanken an ein Versehen nahe legt. *K.* umschreibt *θυρώτοιν*; vgl. no. 3274. — 57 ΓΡΑΣΩΓ.. — 58 Zu *ἄνευν* vgl. elisch *ἄνευς* Samml. no. 1157_8; *ἄνευ* 3343, 9. — 59 f. *ὑποδοχίου* kommt noch 233 als Substantiv vor. — 60 *κα*(*ὶ κ*)[*υ*]*ματίου*: zwischen Α und Μ hat nach *K.* nur Ein Zeichen gestanden; die erhaltenen Spuren sollen auf Α, Λ, Κ oder Ν hinweisen; also sei die Ergänzung von *„καὶ κυματίου, καλυματίου ἢ ἑτερόν τι"* unmöglich. Aber *K.*'s Versuch *κ'αυματίου* zu lesen ist unglücklich, und man muss wol annehmen, der Steinmetz habe ΚΑ[Υ]ΜΑΤΙΟΥ oder ΚΑ[Κ]ΜΑΤΙΟΥ aus Versehen für ΚΑΙΚΥΜ- geschrieben. Oder sollte *ὑποδοχίου* (adj.) *κα*[*υ*]*ματίου* denkbar sein? Protagoras beschäftigt sich mit *ἔγκαυσις* Z. 52; andrerseits *Πρωταγόραι κυματίου* Z. 274. — 61 *ἐργάσσασθαι* umschreibt *K.* — 62 *'Αριστομίδας* Koseform zu *'Αριστομήδης* oder *'Αριστόμαχος;* aber nicht mit jenem auf eine Stufe zu stellen, wie es *K.* thut (z. Z. 54). Zu *ποῖ* vgl. *Bechtel* zu Samml. no. 1479 und

meine Besprechung Gött. gel. Anz. 1887. 440 u. zu no. 3342_{19}. — 65 *δῆ(ι) πο(ῖ) τό*: ΔΗΠΟΤΟ, doppeltes Versehen des Steinmetzen. Zur Contraction *δῆι* vgl. *Dittenberger* Syll. 126_{6}, 353_{66}. — *B* 72 Schluss [*θυρώματι*] *K.*, was allein die Lücke nicht füllt. Indes war vielleicht die erste Zeile der neuen Columne etwas kürzer, wie in *β'*. — 74 ΓΥΓΛΥΜ hat der Stein, *K.* umschreibt aber *γιγλύμ[οις]* ohne Bemerkung. Dies ist neben *γίγγλυμος* die handschriftlich überlieferte Gestalt des Wortes. — 77 *ἄ[νευν]*: nach Z. 58, füllt die Lücke; *ἄ[νευ] K.* .— 78 *K.* hat hinter der Zahl in der Umschrift noch IIIII. — 80 *K.* gibt in der Umschrift die Zahl um 10 Dr. zu klein. — *'Ικαδίων*: ΙΚΑΛΙΩΝ die Abschrift, von *K.* in der Umschrift beibehalten. — 81 ..*αν* Nominativendung wie in *Θηρᾶνι* (ob no. 3281), *'Αλκμάν, Τιτάν*. — 82 .ΕΙϟ.ΛΛΟϟ die Abschrift; [*Π*]*εισ[ί]λαος K.*; möglich auch *Πείσιλλος*. — 85 *ἔχ[θ]ω K.* zweifelnd; vgl. *ἔχθοι* neben *ἔνδοι* Z. 66 und *ἔξω* Z. 86. — 86 ΟΛΙΠΙΔΑϟ von unklarer Bildung. Etwa *'Ολ(υμ)πίδας*? Vgl. Samml. no. 1214_{6}. — 88 Zeilenschluss freigelassen, s. ob. — 90 *Φιλοκάλας*: so die Abschrift; zu vergleichen ist *Λυϙοδόρκας* (no. $3266b_{11}$), *'Αντιμοίρας* (no. 3269_{7}); übrigens steht bei *K.* in der Umschrift unmögliches *Φιλοκάδας*. — 90/91 [*τάκρω*]|*τ(ή)ρια*: ΕΛ - - | ΤΑΙΙΑ die Abschrift, *ἔλ[ετο ἀκρω]*|*τ[άρ]ια K.*; aber *τάκρωτήρια* steht Z. 102 (vgl. 100). Dass hier wie Z. 97 Akroterien erwähnt werden, macht auch der Preis wahrscheinlich: hier [2]260, dort 22[4]0 Dr.; *K.* umschreibt XX ohne Klammern und bemerkt „*ὁ ναὸς τοῦ 'Ασκληπιοῦ εἶχεν ὡς ἀκρωτήρια πτερωτὰς Νίκας* (*Ἰδ. 'Αρχ. 'Εφ.* 1885. *Πίν.* 1)". — 91/92 [*Λαμέδ*|*ω*]*ν*: nach Z. 108. — ΘΙΟϟΟΤΟϟ, von *K.* nicht erkannt, ist *Θεόσοτος* = *Θεόσδοτος*. Vgl. im Sandhi *σσ* für *σδ*: *βωλᾶς σευτέρας* oben no. 3277_{14} und no. 3339_{102} *αὐτά(ς) δολωθεὶς* (?) — 97 Schl. liest *K.* *Θεό[τιμος* (;) *ἕλετο ἀκρωτάρια* (;) *ἐπί*]. Diese Ergänzung ist trotz der falschen Weglassung des Artikels zu lang. Vgl. zu Z. 91. — 98/99 In der Lücke fehlt der Name des Unternehmers. Mit *ἐναιετίων ἐ. τ. ἀτ. αἰετὸν* 3010 Dr. wird hier wohl zusammengefasst, was auf der andern Tempelseite getrennt ist: 89 *κερκίδα τοῦ αἰετοῦ ἐργάσασθαι* 1610 Dr , und 112 *ἐναιετίων τᾶς ἀτέρας κερκίδος* 1400. Gespart wird dabei nichts: 1400 + 1610 = 3010 Dr.; *K.* umschreibt Z. 89 den Preis um X zu hoch. Reste der *ἐναιέτια 'Εφ. ἀρχ.* 1884. *Πίν.* 3. 4. — 99 ΘΕΟΞΝΙΔ — 101 *Πυρίας*: „*ἐν στ.* 16: *Πυρρίας*" *K.* — 103 ΤΟΗΡ etwa *τοῦ ἥρ[ωος]* oder *'Ηρ[ακλέος]*? Am Schluss fehlen 13—16 Zeichen. — 104 f. nach Z. 9. 31/32. 54. Zwar erhält Th. an den beiden letzten Stellen 353 Dr., aber Z. 111 für 6 Monate 175 Dr., also 350 das Jahr. Die Lücke wird grade gefüllt, nur vor ΔΟ gibt *K.* nur 2 Buchst. als fehlend an. — 106 ΑΘΙ Zahl? *K.* — 107 *'Ερμιόνος* ΧΒΒ =. III... ΕΛΛΩ die Abschrift. *K.* umschreibt ΧΗΗ[ ]III [*Μακ*]*έλλ(ο)*. Vgl. *μακέλλου* 296. s. 298. 301; *μάκελλον* bedeutet „Gitter". Vgl. Hes. *μακέλα· φράγματα, δρύφακτοι, μάκελος· δρύφακτος, μάκελλα· τὰ αὐτά.* Varro LL. 5, 146 *Forum olitorium erat antiquum Macellum, ubi olerum copia. Ea loca etiam nunc Lacedaemonii vocant Macellum, sed Iones ostia hortorum Macellotas hortorum et castelli macella.* (Thes.) *Θύρας μακελλωτάς* auf Delos *Dittenberger* Syll. no. 367_{238}. — 110 *κλαικός*, vielleicht noch *κλαϊκός*. Vgl. *κλᾷξ* Theokr. 15, 33; Mysterieninschr. v. Andania 90 f.

Ahrens Dial. dor. 94, 141 f., *κλαίθρου* Z. 293/4. — *β'* 232 *ὀδούς* „Schwellen", *τὸν ὀδόν* 249. — 233 ΑΑΙΠΠΟΙ. Ueber O = ω hier und 239 s. zu Z. 56.— 251 *K.* umschreibt falsch *παραδειχμάτων*: *Πάρδειχμα* = *παράδειγμα* *Dittenberger* Syll. no. 352$_{87 \cdot 95}$ heisst „Modell, Vorlage". — 253 *φάρχματα* = *φράγματα* „Zäune". Die Zahl dahinter von *K.* falsch umschrieben, ebenso 266. 298. — 254 *Θήβαις* „in Theben" vgl. *χάρυκι ἐν Ἑρμιόνι* 228. 237. — 275 *βόλιμος* „plumbum" = *μόλιβος*, *μόλυβδος*; rhod. *περιβολιβῶσαι*. — 282 ΕΦΟΡΑΣ, aber vgl. Z. 295. — 288 *K.* [*Ἀριστ*]*ράτωι* nach Z. 82. Dieser ist aber Bürge und füllt auch die Lücke schlecht. Daher nach Z. 37. — *β'* 289 Die halbe Zeile ist freigelassen. — 292 : : : · IIIIIΠ: „*τὸ* Π *ἐνταῦθα εἶνε ἀριθμός. Ὡσαύτως ἀριθμοὶ δηλωτικοὶ τοῦ βάρους εἶνε τὰ* ΣΣ 302" *K.* — 293 *στέγας* (*ἐ*)*καθάρ*⟨*ε*⟩*σιος*: der Stein hat ΚΑΘΑΡΕΣΙΟΣ; dies Wort kann wol nicht heissen „Herabnahme" (s. *Johansson* BB. 15. 165 n.); dagegen spricht auch der niedrige Preis und *διαιρέσιος* 205. 225. Es ist also wol (*ἐ*)*καθάρ*⟨*ε*⟩*σιος* zu lesen, vgl. Z. 283. 290. — 299 ΚΑΑΛΙΔΙΚΩΙ. *T* vor *ἀγγέλωι* hält *K.* für eine Zahl; in der That ist *τἀγγέλωι* ohne Beispiel. — 304 f. *θυρώτοιν* von *θύρωτον* = *θύρωτρον* wie no. 3340$_{41/42}$ *ῥάπτον* = *ῥάπτρον*. Es liegt wol Dissimilation zweier *ρ* vor.

Inschriften in ionischem Alphabete.

Weihinschriften.

3326 Asklepieion. *„Λιθίνη κλίνη" Καββαδίας Ἐφ. ἀρχ.* 1883. 27 no. 3.

Ἀρκεσίλαος, | *Λύσανδρος* | *ἀνεθέταν.*

Gewöhnliche ionische Schrift.

3327 Kapelle der *Ἁγία Ἄννα*. — *Böckh* CIG. 1178 nach *Clarke*. — Nach eigener Abschrift *Foucart* bei *Le Bas* Expl. no. 144*b*. — Der Stein ist oben und rechts abgebrochen.

– – | *ἱαρε*[*ύς*], | *Φάων* | *πυρφόρο*[*ς*] || *ἀνέθηκα*[*ν*].

Gewöhnliche ionische Schrift.

3328 Asklepieion. *„Τετραγωνικὴ στήλη ἐξ ἀσβεστολίθου ἔχουσα βάσιν καὶ ἐπίκρανον οἱονεὶ σπεῖραν ἰωνικῆς παραστάδος" Καββαδίας Ἐφ. ἀρχ.* 1883. 154 no. 51.

Διόδωρος, | *Νικομένης,* | *Λάκριτος,* | *Ἀρίσταρχος* || *ἱερομνάμονες* | *ἀνέθηκαν.*

Schrift: Θ, Μ, Σ.

Z. 3. Vgl. *Λακρίνης Ἐπιδαύριος* Grabschrift aus Alexandria Rev. arch. 1887. 10. 212.

3329 Basis oberhalb der Ruinen Kamari gefunden. Herausgegeben von *Foucart* bei *Le Bas* no. 144*a*.

Λατοῦς.

Buchstaben von grossen Dimensionen aus guter Zeit.

3330 Asklepieion.
„Βάθρον τετραγωνικόν“ Καββαδίας 'Εφ. ἀρχ 1883. 87 no. 22.

Διὶ Κασίωι | Ἑλλανοκράτης | Ἡρακλείδου.

Zur Erklärung des Beinamens s. *Baunack* S. 87 f.
Schrift: Σ.

3331 „Ecclesia ruinosa in convalle angusta montis ut putatur Cynortii. Ed. *Chandler* Inscr. II, 144 p. 82. *Pouquevill* T. IV, p. 143. Vidit etiam *Villoisonius* in basi statuae“ *Böckh* CIG. no. 1179.

Ἁφαίστου.

Schriftangabe unzuverlässig.
Unter dem Namen des Gottes hat *Pouquev.* XAIPE, TX *Chandler, Vill.* übergeht TX und bemerkt, dass *χαῖρε* auf einem anderen Stein stehe. *Welcker* hält TX für „Hammer und Zange“ Rh. Mus. 1859. 519.

3332 Ebenda. „Ex schedis Villoisoni“ *Böckh* CIG. no. 1182.

Ματρός ΚΘ.

Schriftangabe unzuverlässig.
ΚΘ: *καταχθονίοις θεοῖς*? *B.*

3333 Asklepieion. *„ἐπὶ σκληροῦ λίθου“ Στάης 'Εφ. ἀρχ.* 1886. 254.

Ἀθάνας Ἀρχα|γετίδος. | Ἱεροκλῆς Χαρι|κλέους πυρο||φορήσας ἐπὶ | ἱερέως Χαρικλέ|ους τοῦ Μενάν|δρου.

Schrift: Μ, Π, Σ.

3334 Ebenda. *Καββαδίας 'Εφ. ἀρχ.* 1883. 28 no. 5.

Ἀρτέμι[δ]ος Παμφυλα[ί]|ας. Εὐκράτης Εὐκράτε|ος πυρο-φορήσας.

Schrift: Π, Σ.

3335 „Prope Ligurio, haud procul a via, quae Naupliam ducit. Ed. *Chandler* Inscr. II, 145 p. 82“ *Böckh* CIG. no. 1172.

Π(αν)αρί(σ)τα | Ἀρτάμιτι | δεκάταν.

Z. 1 ΠΜΑΡΙΤΑ. — 2 *Ahrens* De dial. dor. 123. 240 hält Υ in *'Αρτάμυτι* für falsch. Liegt Dissimilation und Beeinflussung durch *μ* vor? Vgl. *ἥμυσυ* *Foy* Beitr. 12. 60, *Johansson* 14. 172.

3336 Asklepieion. Auf einem viereckigen Block, dessen Oberflächen stark verscheuert sind. — *Καββαδίας 'Εφ. ἀρχ.* 1884. 27 no. 71.

'Αρτάμιτος Προθυραίας.

Schrift: Θ, Μ, Π, Σ neben Ε.

Προθυραίας: „*Προθ°* steht Orph. h. 1, 4, 12. Dem Sinne nach berührt sich damit *'Εν-οδία*, wie sie F[oucart bei *Le Bas* Expl. no.] 147*a* heisst" *Baunack* 101.

3337 Nordmauer der Kapelle der *'Αγία Ἄννα*. — *Foucart* bei *Le Bas* no. 146*b*.

'Ο ἱερεὺς τοῦ | Μαλεάτα 'Απόλ|λωνος καὶ θεῶν | 'Αζεσίων Δ[α]μ[ί]ας ‖ Αὐξησίας, Ποσει|δώνιος, ἔτος | ΡΠΔ'.

Schrift: Α, Є, Ζ, Θ, C, Ѡ und ω.

Der Cultus der Damia und der Auxesia wird schon von Herodot 5. 82 f. erwähnt. Er ist auf Epidauros, Trozan und Aigina beschränkt; für die beiden letzten Orte bezeugt ihn Pausanias 2. 30 $_4$ (*Foucart*).

Zeit: der Schrift nach das 3. Jahrh. nach Chr. (*Foucart*); nach welcher Aera die Epidaurier rechnen, ist unbekannt.

3338 Asklepieion. Viereckige Kalksteinbasis. — *Καββαδίας 'Εφ. ἀρχ.* 1884. 24 no. 64.

'Απόλλω[νι | 'Υ]πάταιω | Πανσάντας | καὶ Κωμάσι||ος.

Schrift: Am Α und Λ die rechte Haste oben verlängert, Μ, Π, Ε, Ѡ.

Z. 3 Vgl. *Θωμάντας* auf der phliasischen Grabinschrift Bezzb. Beitr. 14. 299 Note.

3339 Ebenda. 9 Stücke einer Marmorplatte. — *Καββαδίας 'Εφ. ἀρχ.* 1883. 197 no. 59. *Baunack* a. a. O. 119 ff. Auf der Zeile meist 48—50, selten 51 Bstb. Streng *στοιχηδόν* geschrieben sind Z. 3—115. Von da ab werden die Bstb. mehr gedrängt, 51 und 52 die Zeile, von Z. 120 an werden die Bstb. kleiner um der Raumersparnis willen.

Paus. 2. 27 $_{3.4}$ heisst es in der Schilderung des Asklepiosheiligtums: *στῆλαι δὲ εἱστήκεσαν ἐντὸς τοῦ περιβόλου, τὸ μὲν ἀρχαῖον καὶ πλέονες, ἐπ' ἐμοῦ δὲ ἓξ λοιπαί. Ταύταις ἐγγεγραμμένα καὶ ἀνδρῶν καὶ γυναικῶν ἐστιν ὀνόματα ἀκεσθέντων ὑπὸ τοῦ 'Ασκληπιοῦ, προσέτι δὲ καὶ νόσημα ὅτι ἕκαστος ἐνόσησε, καὶ ὅπως ἰάθη· γέγραπται δὲ φωνῇ τῇ Δωρίδι.* Bei Strabon 2. 531 … *τὸ ἱερὸν πλῆρες . . ἀεὶ τῶν τε καμνόντων καὶ τῶν ἀνακειμένων πινάκων, ἐν οἷς ἀναγεγραμμέναι τυγχάνουσιν αἱ θεραπεῖαι, καθάπερ ἐν Κῷ τε καὶ Τρίκκῃ.*

Θεός. Τύχα [ἀγ]αθά. | [Ἰά]ματα τοῦ Ἀπόλλωνος καὶ τοῦ Ἀσκλαπιοῦ. |

[Κλ]εὼ πένθ' ἔτη ἐκύησε. — Αὕτα πέντ' ἐνιαυτοὺς ἤδη κύουσα ποῖ τὸν | [θε]ὸν ἱκέτις ἀφίκετο καὶ ἐνεκάθευδε ἐν τῶι ἀβάτωι. Ὡς δὲ τάχισ||[τα] ἐξῆλθε ἐξ αὐτοῦ καὶ ἐκ τοῦ ἱαροῦ ἐγένετο, κόρον ἔτεκε, ὃς εὐ||[θ]ὺς γενόμενος αὐτὸς ἀπὸ τᾶς κράνας ἐλοῦτο καὶ ἅμα τᾶι ματρὶ | [π]εριῆρπε. Τυχοῦσα δὲ τούτων ἐπὶ τὸ ἄνθεμα [ἐ]πεγράψατο· Οὐ μέγε|[θο]ς πίνακος θαυμαστέον, ἀλλὰ τὸ θεῖον, Πένθ' ἔτη ὡς ἐκύησε ἐγ γασ|[τρ]ὶ Κλέω βάρος, ἔστε | Ἐγκατεκοιμάθη, καί μιν ἔθηκε ὑγιῆ. — Τριετὴς || [κό]ρα. — Ἰθμονίκα Πελλανὶς ἀφίκετο εἰς τὸ ἱαρὸν ὑπὲρ γενεᾶς. Ἐγ[κοι]μαθεῖσα δὲ ὄψιν εἶδε· ἐδόκει αἰτεῖσθαι τὸν θεὸν κυῆσαι κό|[ραν], τὸν δ' Ἀσκλαπιὸν φάμεν ἔγκυον ἐσσεῖσθαί νιν καί, εἴ τι ἄλλο | α[ἰτ]οῖτο, καὶ τοῦτό οἱ ἐπιτελεῖν, αὐτὰ δ' οὐθενὸς φάμεν ἔτι ποι|δ[εῖ]σθαι· ἔγκυος δὲ γενομένα ἐγ γαστρὶ ἐφόρει τρία ἔτη, ἔστε πα||ρέβαλε ποῖ τὸν θεὸν ἱκέτις ὑπὲρ τοῦ τόκου. Ἐγκατακοιμαθεῖσα | δὲ ὄψ[ι]ν εἶδε· ἐδόκει ἐπερωτῆν νιν τὸν θεόν, εἰ οὐ γένοιτο αὐτᾶι | πάντ[α] ὅσσα αἰτήσαιτο καὶ ἔγκυος εἴη, ὑπὲρ δὲ τόκου ποιθέμεν | νιν οὐθέν, καὶ ταῦτα πυνθανομένου αὐτοῦ, εἴ τινος καὶ ἄλλου δέ|οιτ[ο], λέγειν, ὡς ποιησοῦντος καὶ τοῦτο, ἐπεὶ δὲ νῦν ὑπὲρ τούτου || παρείη ποτ' αὐτὸν ἱκέτις, καὶ τοῦτό οἱ φάμεν ἐπιτελεῖν. Μετὰ δὲ | τοῦτο σπουδᾶι ἐκ τοῦ ἀβάτου ἐξελθοῦσα, ὡς ἔξω τοῦ ἱαροῦ ἦς, ἔτε|κε κό[ρ]αν. — Ἀνὴρ τοὺς τᾶς χηρὸς δακτύλους ἀκρατεῖς ἔχων πλὰν | ἑνὸς ἀ[φ]ίκετο ποῖ τὸν θεὸν ἱκέτας. Θεωρῶν δὲ τοὺς ἐν τῶι ἱαρῶι | [π]ίνακας ἀπίστει τοῖς ἰάμασιν καὶ ὑποδιέσυρε τὰ ἐπιγράμμα[τ]α.· Ἐγκαθεύδων δὲ ὄψιν εἶδε· ἐδόκει ὑπὸ τῶι ναῶι ἀστραγαλίζον||[τ]ος αὐτοῦ καὶ μέλλοντος βάλλειν τῶι ἀστραγάλωι ἐπιφανέντα | [τ]ὸν θεὸν ἐφαλέσθαι ἐπὶ τὰν χῆρα καὶ ἐκτεῖναί οὑ τοὺς δακτύ||[λ]ους, ὡς δ' ἀποβαίη, δοκεῖν συγκάμψας τὰν χῆρα καθ' ἕνα ἐκτείνειν | [τ]ῶν δακτύλων, ἐπεὶ δὲ πάντας ἐξευθύναι, ἐπερωτῆν νιν τὸν θεόν, || [ε]ἰ ἔτι ἀπιστησοῖ τοῖς ἐπιγράμμασι τοῖς ἐπὶ τῶμ πινάκων τῶν | [κ]ατὰ τὸ [ἱ]ερόν, αὐτὸς δ' οὐ φάμεν· ὅτι τοίνυν ἔμπροσθεν ἀπίστεις | [α]ὐτο[ῖ]ς ο[ὐκ] ἐοῦσιν ἀπίστοις, τὸ λοιπὸν ἔστω τοι φάμεν, ἄπιστος | [ἁ ὄψις]. Ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε. — Ἀμβροσία ἐξ Ἀθανᾶν | [ἁτερό]πτ[ι]λλος. Αὕτα ἱκέτ[ις] ἦλθε ποῖ τὸν θεόν. Περιέρπουσα δὲ | [κατὰ τ]ὸ [ἱα]ρὸν τῶν ἰαμάτων τινὰ διεγέλα ὡς ἀπίθανα καὶ ἀδύνα||[τα ἐόν]τα χωλοὺς καὶ τυφλοὺς ὑγιεῖς γίνεσθαι ἐνύπνιον

ἰδόν[τας μό]νον. Ἐγκαθεύδουσα δὲ ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς ἐπιστὰς | [εἰπεῖν], ὅτ[ι] ὑγιῆ μέν νιν ποιησοῖ, μισθὸμ μάντοι νιν δεησοῖ ἀν[θέμεν ε]ἰς τὸ ἱαρὸν ὗν ἀργύρεον, ὑπόμναμα τᾶς ἀμαθίας· εἴπαν[τα δὲ(?) ταῦτα] ἀνσχίσσαι οὗ τὸν ὀπτίλλον τὸν νοσοῦντα καὶ φάρμ[α]κόν τι ἐγχέ]αι. Ἁμέρας δὲ γενομένας [ὑ]γιὴς ἐξῆλθε. — Παῖς ἄφωνος [ἱ]κέτας ἀφίκ]ετο εἰς τὸ ἱαρὸν ὑ[πὲ]ρ φωνᾶς. Ὡς δὲ προεθύσατο καὶ | [ἐπόησε τὰ] νομιζόμενα, μετὰ τοῦτο ὁ παῖς ὁ τῶι θεῶι πυρφορῶν | [. . . . . . . πο]ὶ τὸμ πατέρα τὸν τοῦ παιδὸς ποτιβλέψας „ὑποδέκεσ[αι“, ἔφα, „τοῦ ἐ]νιαυτοῦ, τυχόντα ἐφ' ἃ πάρεστι, ἀποθυσεῖν τὰ ἴατρα;“ | [ὁ δὲ παῖς ἐξ]απίνας „ὑποδέκομαι“ ἔφα. Ὁ δὲ πατὴρ ἐκπλαγεὶς πάλιν | [ἐκέλετο αὐτ]ὸν εἰπεῖν. Ὁ δ' ἔλεγε πάλιν καὶ ἐκ τούτου ὑγιὴς ἐγέ[νετο. — Πάνδαρ]ος Θεσσαλὸς στίγματα ἔχων ἐν τῶι μετώπωι. Οὗτος | [ἐγκαθεύδων ὄψ]ιν εἶδε· ἐδόκει αὐτοῦ τ[αι]νίαι καταδῆσαι τὰ στί[γματα ὁ θεὸς κα]ὶ κέλεσθαί νιν, ἐπεί [κα ἔξω] γένηται τοῦ ἀβάτου, | [ἀφελόμενον τὰν] ταινίαν ἀνθέμ[εν εἰς τ]ὸν ναόν. Ἁμέρας δὲ γενο[μένας, ἐξανέστα] καὶ ἀφήλετο τὰ[ν ταινίαν καὶ τὸ μὲν πρόσωπον | [ἐκεκάθαρτο τῶ]ν στιγμάτ[ων, τ]ὰν δ[ὲ τ]αινίαν ἀνέθηκε εἰς τὸν να[ὸν ἔχουσαν τὰ γρ]άμματ[α] τὰ ἐκ τοῦ μετώπου. Ἐχέδωρος τὰ Πανδά[ρου στίγματα ἔλ]αβε ποὶ τοῖς ὑπάρχουσιν. Οὗτος λαβὼν πὰρ [Παν]δάρου χρήματα], ὥστ' ἀνθέμεν τῶι θεῶι εἰς Ἐπίδαυρον ὑπὲρ αὐ[τοῦ, | οὐκ] ἀπεδίδου ταῦτα. Ἐγκαθεύδων δὲ ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θε[ὸς] | ἐπιστὰς ἐπερωτῆν νιν, εἰ ἔχοι τινὰ χρήματα πὰρ Πανδάρου Ε . . | ΘΗΝΑΝ *ἄνθεμα εἰς τὸ ἱαρόν, αὐτὸς δ' οὐ φάμεν λελαβήκειν οὐθὲ[ν] ‖ τοιοῦτον πὰρ αὐτοῦ, ἀλλ' αἴ κα ὑγιῆ νιν ποιήσαι, ἀνθησεῖν οἱ εἰκόνα γραψάμενος· μετὰ δὲ τοῦτο τὸν θεὸν τὰν τοῦ Πανδάρου ταινίαν περιδῆσαι περὶ τὰ στίγματά οἱ καὶ κέλεσθαί νιν, ἐπεί κα ἐξέλθηι ἐκ τοῦ ἀβάτου, ἀφελόμενον τὰν ταινίαν ἀπονίψασθαι τὸ | πρόσωπον ἀπὸ τᾶς κράνας καὶ ἐγκατοπτρίξασ(θ)αι εἰς τὸ ὕδωρ. Ἁμέρας δὲ γενομένας ἐξελθὼν ἐκ τοῦ ἀβάτου τὰν ταινίαν ἀφήλετο | τὰ γράματα οὐκ ἔχουσαν, ἐγκαθιδὼν δὲ εἰς τὸ ὕδωρ ἑώρη τὸ αὑτοῦ | πρόσωπον ποὶ τοῖς ἰδίοις στίγμασιν καὶ τὰ τοῦ Πανδάρου γράμματα λελαβηκός. — Εὐφάνης Ἐπιδαύριος παῖς. Οὗτος λιθιῶν ἐνε[κά]θευδε· ἔδοξε δὴ αὐτῶι ὁ θεὸς ἐπιστὰς εἰπεῖν· τί μοι δωσεῖς, αἴ τ[ύ] κα ὑγιῆ ποιήσω, αὐτὸς δὲ φάμεν, δέκ' ἀστραγάλους, τὸν δὲ θεὸν γελάσαντα φάμεν νιν παυσεῖν. Ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε. — | Ἀνὴρ ἀφίκετο ποὶ*

τὸν θεὸν ἱκέτας ἀτερόπτιλος οὕτως, ὥστε τὰ | βλέφαρα μόνον ἔχειν, ἐνεῖμεν δ' ἐν αὐτοῖς μηθέν, ἀλλὰ κενεὰ εἶ|μεν ὅλως. Ἔλεγον δή τινες τῶν ἐν τῶι ἱαρῶι τὰν εὐηθίαν αὐτοῦ τὸ || νομίζειν βλεψεῖσθαι ὅλως μηδεμίαν ὑπαρχὰν ἔχοντος ὀπτίλ|λου, ἀλλ' ἢ χώραμ μόνον. Ἐγκαθ[εύδον]τι οὖν αὐτῶι ὄψις ἐφάνη, ἐδό|κει τὸν θεὸν ἑψῆσαί τι φά[ρμακον, ἔπε]ιτα διαγαγόντα τὰ βλέφα|ρα ἐγχέαι εἰς αὐτά. Ἁμέρ[ας δὲ γενομέν]ας βλέπων ἀμφοῖν ἐξῆλθε. — | Κώθων. Σκευοφόρος εἰ[ς τὸ] ἱαρ[ὸν ἀνιών], ἐπεὶ ἐγένετο περὶ τὸ δεκαστάδιον, κατέπ[ε]τε. [Ὡς δ' ἀ]νέστα, ἀνῶιξε τὸγ γυλιὸν κα[ὶ ἐ]πεσκό|πει τὰ συντετριμμένα σ[κε]ύη. Ὡς δ' εἶδε τὸγ κώθωνα κατε[αγ]ότα, | ἐξ οὗ ὁ δεσπότας εἴθιστ[ο π]ίνειν, ἐλυπεῖτο καὶ συνετίθει [τὰ] ὄστρακα καθιζόμενος. Ὁδο[ί]πορος οὖν τις ἰδὼν αὐτόν, „τί ὦ ἄθλι'“, ἔφα, „συντίθησι τὸγ κώθωνα [μά]ταν; τοῦτον γὰρ οὐδέ κα ὁ ἐν Ἐπιδαύ|ρωι Ἀσκλαπιὸς ὑγιῆ ποιῆσαι δύναιτο.“ Ἀκούσας ταῦτα ὁ παῖς, συν|θεὶς τὰ ὄστρακα εἰς τὸγ γυλιόν, ἧρπε εἰς τὸ ἱερόν. Ἐπεὶ δ' ἀφίκετο, ἀνῶιξε τὸγ γυλιὸν καὶ ἐξαῖρεν ὑγιῆ τὸγ κώθωνα γεγενημέ|νον, καὶ τῶι δεσπόται ἡρμάνευσε τὰ πραχθέντα καὶ λεχθέντα. Ὡ|ς δὲ ἄκουσ', ἀνέθηκε τῶι θεῶι τὸγ κώθωνα. —

Αἰσχίνας ἐγκεκοιμισμένων ἤδη τῶν ἱκετᾶν ἐπὶ δένδρεόν τι ἀμ|βὰς ὑπερέκυπτε εἰς τὸ ἄβατον. Καταπετὼν οὖν ἀπὸ τοῦ δένδρεος | περὶ σκόλοπάς τινας τοὺς ὀπτίλλους ἀμφέπαισε. Κακῶς δὲ δια|κείμενος καὶ τυφλὸς γεγενημένος καθικετεύσας τὸν θεὸν ἐν|εκάθευδε· καὶ ὑγιὴς ἐγένετο. —

Εὔιππος λόγχαν ἔτη ἐφόρησε ἓξ ἐν τᾶι γνάθωι. Ἐγκοιτασθέντος | δ' αὐτοῦ ἐξελὼν τὰν λόγχαν ὁ θεὸς εἰς τὰς χῆράς οἱ ἔδωκε. Ἁμέρας | δὲ γενομένας ὑγιὴς ἐξῆρπε τὰν λόγχαν ἐν ταῖς χερσὶν ἔχων. —

Ἀνὴρ Τορωναῖος δεμελέας. Οὗτος ἐγκαθεύδων ἐνύπνιον εἶδε· | ἔδοξέ οἱ τὸν θεὸν τὰ στέρνα μαχαίραι ἀνσχίσσαντα τὰς δεμε|λέας ἐξελεῖν καὶ δόμεν οἱ ἐς τὰς χεῖρας καὶ συνράψαι τὰ στήθη. Ἁμέρας δὲ γενομένας ἐξῆλθε τὰ θηρία ἐν ταῖς χερσὶν ἔχων | καὶ ὑγιὴς ἐγένετο. Κατέπιε δ' αὐτὰ δολωθεὶς ὑπὸ ματρυιᾶς ἐγ κυκᾶνι ἐμβεβλημένας ἐκπιών. —

Ἀνὴρ ἐν αἰδοίωι λίθ(ο)ν. Οὗτος ἐνύπνιον εἶδε· ἐδόκει παιδὶ καλῶι || συγγίνεσθαι. Ἐξονειρώσσων δὲ τὸλ λίθον ἐγβάλλει καὶ ἀνελόμε|νος ἐξῆλθεν ταῖς χερσὶν ἔχων. —

Ἑρμίδικος Λαμψακηνὸς ἀκρ(α)τὴς τοῦ σώματος. Τοῦτον ἐγκαθεύ|δοντα ἰάσατο καὶ ἐκελήσατο ἐξελθόντα λίθον ἐνεγκεῖν

εἰς τὸ | ἱαρὸν ὁπόσσον δύναιτο μέγισ[τ]ον. Ὁ δὲ τὸμ πρὸ τοῦ ἀβάτου κείμε|νον ἤνικε. —

Νικάνωρ χωλός. Τούτου καθημένου παῖς [τ]ις ὕπαρ τὸν σκίπωνα ἁρ|πάξας ἔφευγε. Ὁ δὲ ἀστὰς ἐδίωκε καὶ ἐκ τούτου ὑγιὴς ἐγένετο. —

Ἀνὴρ δάκτυλον ἰάθη ὑπὸ ὄφιος. Οὗτος τὸν τοῦ ποδὸς δάκτυλον ὑπὸ τοῦ ἀγρίου ἕλκεος δεινῶς διακείμενος μεθάμερα ὑπὸ τῶν θε|ραπόντων ἐξενειχθεὶς ἐπὶ ἑδράματός τινος καθῖζε. Ὕπνου δέ νιν | λαβόντος ἐν τούτωι δράκων ἐν τοῦ ἀβάτου ἐξελθὼν τὸν δάκτυλον | ἰάσατο τᾶι γλώσσαι καὶ τοῦτο ποιήσας εἰς τὸ ἄβατον ἀνεχώρησε | πάλιν. Ἐξεγερθεὶς δέ, ὡς ἧς ὑγιής, ἔφα ὄψιν εἴδειν, δοκεῖν νεανίσ|κον εὐπρεπῆ τὰμ μορφὰν ἐπὶ τὸν δάκτυλον ἐπιπῆν φάρμακον. —

Ἀλκέτας Ἁλικός. Οὗτος τυφλὸς ἐὼν ἐνύπνιον εἶδε· ἐδόκει ὁ θεὸς ποτελθὼν τοῖς δα|κτύλοις διάγειν τὰ ὄμματα, καὶ ἰδεῖν τὰ δένδρη ὁρατὸν τὰ ἐν τῶι ἱαρῶι. Ἁμέρας δὲ γε|νομένας ὑγιὴς ἐξῆλθε. — Ἡραιεὺς Μυτιληναῖος. Οὗτος οὐκ εἶχεν ἐν τᾶι κεφαλᾶι | τρίχας, ἐν δὲ τῶι γενείωι παμπόλλας. Αἰσχυνόμενος δὲ [ἅτε] καταγελάμενος ὑπ[ὸ] | τῶν ἄλλων ἐνεκάθευδε. Τὸν δὲ ὁ θεὸς χρίσας φαρμάκωι τὰν κεφαλὰν ἐπόησε || τρίχας ἔχειν. — [Θ]ύσων Ἑρμιονεὺς παῖς ἀϊδής. Οὗ[τος] ὕπαρ ὑπὸ κυνὸς τῶν | κατὰ τὸ ἱαρὸν θ[εραπ]ευόμενος τοὺς ὀπτίλλους ὑ[γιὴ]ς ἀπῆλθε.

Gewöhnliche ionische Schrift, doch Ξ; A bei *K.* einmal (Z. 6) aus Versehen?

Z. 3 Ueber *ἔτος* s. *Thumb* Spir. asp. 15. 59. 70. Vgl. Z. 66. — 5 Vgl. Paus. 2. 27 $_1$ *οὐδὲ ἀποθνήσκουσιν οὐδὲ τίκτουσιν αἱ γυναῖκές σφισιν ἐντὸς τοῦ περιβόλου.* — 7 ff. Zwei Hexameter und ein Pentameter. Das einzige Poetische darin scheint *μιν* zu sein; denn sonst heisst es immer *νιν* in diesen Inschriften. — 9 *ἔστε*: *ἔστε K.* wegen Et. M. 382. — 10 Wenn *Ἰθμονίκα* = *Ἰσθμιονίκη* (*Baunack*) ist, so ist das ihr heimatlicher, nicht epidaurischer Dialect. — 13. 20 *ἐπιτελεῖν* futur. attic.! — *ποιδ[εῖ]σθαι*: *K.*; *ποιδέεσθαι B.* — 22 *χηρός*: das Wort hat *η* noch Z. 27. 28. 96; *ει* Z. 100, no. 3342 Z. 13. 65, also wol durch attischen Einfluss; *χερσίν* Z. 97. 101. 106, *χερσί* no. 3340 $_{60}$. — 28 Das erste I in EKTEINEIN nimmt keine Stelle für sich ein, sondern ist eingedrängt; desgleichen Z. 40 P in *φάρμακον*, und Z. 104 das erste Λ in *τὸλ λίθον*. — 32 f. nach *Diels* Hermes 23. 286. Sinn: so wenig wie dies Gesicht *ἄπιστον* ist (denn er wird gesund), so wenig sind *αὐτά*, nämlich *ἐπιγράμματα τὰ ἐπὶ τῶμ πινάκων τῶν κατὰ τὸ ἱερόν, ἄπιστα.* Die früheren Erklärungen nebst einer eigenen verzeichnet *Baunack* 122. — 35 *διεγέλα*: das *α* des Imperfectums ist gegenüber dem *η* von *ἑώρη* (66), *ἐπερωτῆν* (16. 29. 58), *ὁρῆι* (15. 47)

auffällig. Dass nicht zu ändern ist, beweist *καταγελάμενος* (123): die Formen erklären sich bei Annahme eines Präsens *γελᾶω*, für das *Mekler* (Beitr. zur Bild. d. gr. Verb. 34) bereits aus anderen Gründen eingetreten ist. — 37 *μάντοι* darf nicht mit *Baunack* durch thess. *μά* erklärt werden. Ist *κραμᾶσαι* no. 3340 $_3$ zu vergleichen, oder an *μᾶν* = *μήν* zu denken? — 39 Schl. deutet *K.* durch Punkte 2 Stellen als fehlend an; um diese ist seine Ergänzung zu kurz. Etwa *δ' οὖν* statt *δέ*? — 40/41: ergänzt von *K.* nach 77/78. — 44 Anf. [*καὶ θύων*] *K.* zweifelnd. — 44 f. *ὑποδέκεσ*|[*αι*, *ἔφα*, *τοῦ ἐ*]*νιαυτοῦ*: *B.*; *ὑποδέκεσαι* mit Herstellung der Endung wie in *συντίθησι* Z. 84 und im Neugriechischen. *ὑποδέκεσ'*, [*ἔφα*, *ἐντὸς ἐ*]*νιαυτοῦ* *K.* — 52 [*ἐξανέστα*]: *Wilamowitz* Herm. 19. 452; [*ἐξηγέρθη*] *K.* nach *ἐξεγερθείς* (118). — 53 Anf. nach *K.* — 54 [*ἔχουσαν τὰ*]: *Wilamowitz.* — 54/55 *τὰ Πανδά*|[*ρου στίγματα ἔλ*]*αβε*: *Wilamowitz.* — 57 [*οὐκ*] *ἀπεδίδου*: *Wilamowitz*; . . . ΑΙLΔΙΔΟΥ die Abschrift; [*ὃς κ*]*αὶ ἐδίδου* *K.* — 58/59 unklar. *K.* liest *ἐ*[*πι*]|*θῆν' ἂν ἄνθεμα*; *W.* lässt die Lücke unausgefüllt; *B.* schreibt *ἐ*[*πι*]|*θῆν ἂν*⟨*αν*⟩*θεμα* und behauptet, epid. *ἐπιθῆν* sei regelrechter Infinitiv wie *φᾶν* in der Glosse *φᾶν· λέγειν* (Hes.). Liegt Angabe der Vaterstadt des Pandaros vor? Vor Ο kann ein Vocal, Χ oder Φ gestanden haben. — 60 *ποιῆσαι*: *ποιῆσ(η)ι* *Wil.*, *Baun.* — 64 *ἐγκατοπτρίξασ(θ)αι*: (*θ*) von *K.* und *Wil.* nachgetragen; *B.* will *ἐγκατοπρίξασαι* beibehalten, unter Berufung auf el. *ποιήασσαι* Samml. no. 1172 $_{33}$. — 66 *ἐγκαθιδών*: vgl. *Thumb* Spir. asp. 25. 59. 71. Man müsste demnach hier *εἴδε*, *ἰδών*, *ἰδεῖν* schreiben. Aber auf der Isyllosinschrift steht *κατιδών* (Z. 45), und ich kann den Verdacht gegen eine gewisse Mitwirkung der auf unserer Inschrift so häufig vorkommenden Form *ἐγκαθεύδων* (vgl. 25. 37. 49. 57. 98) nicht unterdrücken. — 66 *ἑώρη* auch no. 3340 $_{28}$; das Perfect *ὡρακυῖαν* no. 3340 $_6$. Da man für *ἑώρη* nicht dorische Contraction am Ende und attische Umstellung der Quantität am Anfange annehmen kann, so wird die Erklärung des att. *ἑώρων* aus **ἠόρων*, die G. Meyer[2] 423 vorschlägt, nichtig. — 67/68 *γρά*|*ματα*: *γρά*[*μ*]|*ματα*, wie *K.* und *B.* lesen, widerstreitet dem Facsimile, das keine Fehlstelle angiebt. — 69 *τ*[*ύ*]: *τύ* *K.* gegen das Facsimile. — 72 *οὕτως* vor *ὥστε*; vor Consonanten *οὕτω*: no. 3340 $_{37}$, no. 3342 $_{26}$. — 74 *ἔλεγον*: *Zacher* meint (Hermes 21. 465), *ἔλεγον* sei bei einer Umschrift aus dem älteren Alphabete für *ἐγέλων* gesetzt. Eine derartige Umschrift ist weder zu erweisen, noch für eine so wortreiche Inschrift irgend wahrscheinlich; ausserdem war *ἐγέλαν* zu erwarten (s. zu 35). — 79 [*ἀνιών*]: *Wil.*; [*ἀπιών*] *K.* — 79 f. *δε*|*κασστάδιον*, hingegen zu Argos *σπάδιον* (oben no. 3267) *B.* — 87 Zu *ὑγιῆ τὸγ κώθωνα* vgl. *ὑγιεῖς πίθοι* *Dittenberger* Syll. no. 39 $_8$, *ἄκεσις* „Reparatur“ no. 3325 $_{276}$. — 90 *δένδρεον*: Gen. Sg. *δένδρεος* 91, Nom. Pl. *δένδρη* 121. — 98 *δεμελέας*: vgl. *δεμβλεῖς· βδέλλαι* Hes. *Bücheler* (Rhein. Mus. 39. 624) will *δεμβλεῖς* in *δεμελεῖς* ändern; trotz der falschen Stellung der Glosse ist dies nicht nötig: *Baunack* 128. Nach meiner Ansicht gehört *δεμελεῖς* zu lat. *lumbrīcus* für (**lumblīcus*, **dumblīcus*; *b* zwischen *m* und *l* eingeschaltet). *βδέλλα*, womit *Bücheler* *δεμελεῖς* in Zusammenhang bringen will, kann nur so verwandt sein, dass es zunächst für **μδέλλα*, dann für **δμέλja* steht. Es müste also *δμ* zu

μδ umgesprungen und *μδ* im Anlaute zu *βδ* geworden sein; im Inlaut wurde *μδ* aus *δμ* zu *μν* in att. *μεσόμνη* CIA. 2. no. 1054 neben hom. *μεσόδμη*. — 102 *αὐτά*: will man nicht *αὐτά(ς)* schreiben, wie *K.*, so kann man *αὐτά* auf *θηρία*, das zunächst liegende Substantivum, beziehen; der Accusativ *ἀμβεβλημένας* müsste dann als *κατὰ σύνεσιν* zu *δεμελέας* construiert gedacht werden. *B.*'s *αὐτὰδ (δ)ολωθεὶς* nach Gortyn. *τᾶδίκας* ist unwahrscheinlich. — 104 *λίθ(ο)ν*: O fehlt auf dem Facsimile. — 107 *ἀκρ(α)τής*: *K.*; AKPHTHΣ der Stein. — 112 *ἀστάς*: vgl. *ἀστάσας* no. 3340_{58}; dagegen stets *ἀνσχίσσας*. — 118 *εἴδειν*: nicht *εἰδεῖν*, wie *K.* und *B.* schreiben. Vielmehr ist *εἴδειν* Infinitiv Perfecti, dessen alte Bedeutung „gesehen haben" der Dialekt erhalten haben muss. Syntaktisch war das Perfect zu erwarten, der Form nach vgl. *λελαβήκειν* (59). — 119 *ἐπιπῆν*: nicht in *ἐπι(χ)ῆν* zu ändern, wie *Baunack* 176 vorschlägt. *πῆν* ist ein altes Verbum auf *-ήω*, bei Hes. in der Glosse *πῆ καὶ πῆν ἐπὶ τοῦ κατάπασσε καὶ καταπάσσειν* erhalten: *Lobeck* Rhem. 104, *Mekler* 19, *Bücheler* Rh. Mus. 39. 620. — 120 *Ἁλικός*: *Ἁλικοὶ καλοῦνται οἱ τὰ πρὸς θάλασσαν οἰκοῦντες μέρη τῆς Πελοποννήσου* Hes. Von einer sonst unbekannten Stadt *Ἁλίκη* spricht Pausanias 2. 36_1 mit Berufung auf die vorliegende Inschrift; nach *Bücheler* (a. a. O.) hat Pausanias seine Quelle nicht verstanden. Steph. Byz. erklärt *Ἁλικός* als *κτητικόν* zu *Ἁλιεῖς*. *Ἁλικός* noch $3340_{19.69}$. — 121 *ὁρατόν*: „sichtbarlich" (trotz der Nacht und der bisherigen Blindheit). *Wilamowitz'* Conjectur *(π)ρᾶτον*, die *B.* „zweifellos richtig" nennt, scheint mir unnötig. — 125 *ἀϊδής* „blind"; sieh *Baunack* zu der Stelle.

3340 Ebenda. — Herausgegeben von *Καββαδίας* *Ἐφ. ἀρχ.* 1885. 1 ff. no. 80. Danach *Baunack* a. a. O. 131 ff. *Στοιχηδόν*, die Länge der Zeilen variiert um 3 Zeichen.

Ἀράτα [Λά]καινα ὕδρωπ[α. Ὑπ]ὲρ ταύτας ἁ μάτηρ ἐνεκάθευδεν ἐλ Λακεδαίμο|νι ἔσσα[ς] καὶ ἐνύπνιον [ὁ]ρῆι· ἐδόκει τᾶς θυγατρός οἱ τὸν θεὸν ἀποταμόν|τα τὰν κ[ε]φαλὰν τὸ σῶμα κρεμάσαι κάτω τὸν τράχαλον ἔχον, ὡς δ' ἐξερρύα συχνὸν ὑγ[ρό]ν, καταλύσαντα τὸ σῶμα τὰν κεφαλὰν πάλιν ἐπιθέμεν ἐπὶ τὸν αὐ||χένα. Ἰδ[οῦσ]α δὲ τὸ ἐνύπνιον τοῦτο ἀγχωρήσασα εἰς Λακεδαίμονα καταλαμβάν[ει τ]ὰν θυγατέρα ὑγιαίνουσαν καὶ τὸ αὐτὸ ἐνύπνιον ὡρακυῖαν. — Ἕρμων Θ[άσιος. Τοῦτο]ν τυφλὸν ἐόντα ἰάσατο, μετὰ δὲ τοῦτο τὰ ἴατρα οὐκ ἀπάγον[τα τῶι ἱερῶι] ἐπόησε τυφλὸν αὖθις. Ἀφικόμενον δ' αὐτὸν καὶ πάλιν ἐγκαθ[εύδοντα ὑγι]ῆ κατέστασε. —| Ἀριστ[αγόρα Τροζ]ανία. Αὕτα ἕλμιθα ἔχουσα ἐν τᾶι κοιλίαι ἐνεκάθευδε | ἐν Τροζ[ᾶνι ἐν τῶι] τοῦ Ἀσκλαπιοῦ τεμένει καὶ ἐνύπνιον εἶδε· ἐδόκει ο(ἱ) | τοὺς υἱ[οὺς τοῦ θ]εοῦ, οὐκ ἐπιδαμοῦντος αὐτοῦ, ἀλλ' ἐν Ἐπιδαύρωι ἐόντος, | τὰγ κεφα[λὰν ἀπο]ταμεῖν, οὐ δυναμένους δ' ἐπιθέμεν πάλιν πέ[μ]ψαι τινὰ

πο[τ] | τὸν Ἀσκλ[απιόν, ὅ]πως μόλῃ. Μεταξὺ δὲ ἁμέρα ἐπικαταλαμβάνει καὶ ὁ ἱαρ⟨ρ⟩εὺς ὁρῆι [ὕπαρ τ]ὰν κεφαλὰν ἀφαιρημέναν ἀπὸ τοῦ σώματος. Τᾶς ἐφερπού|σας δὲ νυκτ][ὸς Ἀρ]ισταγόρα ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς ἵκων ἐξ Ἐπιδαύρου | [ἐ]πιθεὶς τ[ὰν κε]φαλὰν ἐπὶ [τὸ]ν τράχαλον, μετὰ ταῦτα ἀνσχίσσας τὰγ κοιλ[ί|αν] τὰν αὐτ[ᾶς ἐξ]ελε[ῖ]ν τὰν ἕ[λμ]ιθα καὶ συρράψαι πάλιν. Καὶ ἐκ τούτου ὑγ[ι]ὴς] ἐγένετ[ο]. — [Ὑ]π[ὸ π]έτραι παῖς Ἀριστόκριτος Ἁ(λ)ικός. Οὗτος ‖ ἀποκολυμ[βάσ]ας εἰς τὰν θ[άλασσ]αν ἔπειτα δενδρύων εἰς τόπον ἀφίκετο | ξηρόν, κύκ[λωι] πέτραις περ[ιεχό]μενον, καὶ οὐκ ἐδύνατο ἔξοδον οὐδεμί|αν εὑρεῖν. [Με]τὰ δὲ τοῦτο ὁ πατ[ὴρ] αὐτοῦ, ὡς οὐθαμεῖ περιετύγχανε μασ|τεύων, πὰρ [Ἀ]σκλαπιῶι ἐν τῶι [ἀβάτ]ωι ἐνεκάθευδε περὶ τοῦ παιδὸς καὶ ἐ|νύπνιον [εἶ]δε· ἐδόκει αὐτὸν ὁ θ[εὸς] ἄγειν εἴς τινα χώραν καὶ δεῖξαί οἱ, δ[ι]|ότι τουτ[ε]ῖ ἐστι ὁ υἱὸς αὐτοῦ. Ἐξ[ελθὼ]ν δ' ἐκ τοῦ ἀβάτου καὶ (λ)ατομήσας τὰ[ν] | πέτραν ἀ[ν]ηῦρε τὸμ παῖδα ἑβδεμ[αῖο]ν. — Σωστράτα Φεραί[α ἐτος] ἐκύησε. Α[ὕ]τα ἐμ παντὶ ἐοῦσα φοράδαν εἰς τὸ ἱαρὸν ἀφικομένα ἐνε[κά]θευδε. Ὡς δὲ οὐθὲν ἐνύπνιον ἐναργ[ὲ]ς ἑώρη, πάλιν οἴκαδε ἀπεκομί[ζε]|το. Μετὰ δὲ τοῦτο συμβολῆσαί τις περὶ Κόρνους αὐτᾶι καὶ τοῖς ἑ[πομέ]‖νοις ἔδοξε τὰν ὄψιν εὐπρεπὴς ἀνήρ, ὃς πυθό[μ]ενος πὰρ αὐτῶν τ[ᾶς δυσπρα]ξίας τᾶς αὐτῶν ἐκελήσατο θέμεν τὰν κ(λ)ίναν, ἐφ' ἇς τὰν Σωστρ[άταν ἔφε]|ρον, ἔπε[ι]τα τὰγ κοιλίαν αὐτᾶς ἀνσχίσας ἐξαιρεῖ πλῆθος [ἑλμίθων πάμ]|πολυ [δύο] ποδανιπτῆρας, συνράψας δὲ [τὰν γ]αστέρα καὶ ποή|σα[ς ὑγιῆ] | τὰν γυναῖκα, τάν τε παρουσίαν τὰν αὐτ[οῦ π]αρενεφάνιξε ὁ Ἀσκλαπιὸς ‖ καὶ ἴατρα ἐκέ[λε]το ἀπ[ο]πέμπειν εἰς Ἐπί[δαυ]ρ[ον]. — Κύων ἰά|σατο παῖδα Α[ἰγιν]άταν. Οὗτος φῦμα ἐν τῶ[ι τραχ]άλωι εἶχε. Ἀφικόμενο[ν] | δ' αὐτὸν ποῖ τ[ὸν] θε[ὸν] κύ[ω]ν τῶν ἱαρῶν ὕ[παρ τ]ᾶι γλώσσαι ἐθεράπευσε | καὶ ὑγιῆ ἐπόησε. — Ἀνὴρ ἐ[ντὸ]ς τᾶς κοιλίας ἕλκος ἔχων. Οὗ|τος ἐγκαθεύδων ἐν[ύπνιο]ν εἶδε· ἐδ[όκει] αὐτῶι ὁ θεὸς ποιτάξαι τοῖς ‖ ἑπομένοις ὑπηρέτα[ις συ]λ(λ)αβόντας αὐτὸν ἴσχειν, ὅπως τάμηι ού τὰν κοιλίαν, αὐτὸς δὲ φεύ[γειν], τοὺς δὲ συλλαβόντας νιν ποιδῆσαι ποῖ ῥό|πτον, μετὰ δὲ τοῦ[το τὸν Ἀσκλα]πιὸν ἀνσχίσσαντα τὰγ κοιλίαν ἐκτα|μεῖν τὸ ἕλκος καὶ [συνρ]ά[ψαι] πάλιν καὶ λυθῆμεν ἐκ τῶν δεσμῶν. Καὶ [ἐ]‖κ τούτου ὑγιὴς ἐξ[ῆλθ]ε, τὸ δὲ δάπεδον ἐν τῶι ἀβάτωι αἵματος κατά πλεον ἦς. — Κλεινάτας Θηβ[αῖ]ος ὁ τοὺς φθεῖρας. Οὗτος [πλῆ]|θός τι πάμπολυ φθε[ιρ]ῶν ἐν τῶι σώ-

ματι [ἔ]χων ἀφικόμενος ἐνεκάθε[υ]δε καὶ ὁρῆι ὄψιν· ἐδόκει αὐτόν νιν ὁ θεὸς ἐγδύσας καὶ γυμνὸν κα|ταστάσας ὀρθὸν σά[ρω]ι τινὶ τοὺς φθεῖρας ἀπὸ τοῦ σώματος ἀποκα|θαίρειν. Ἁμέρας δὲ γ[ε]νομένας ἐκ τοῦ ἀβάτου ὑγιὴς ἐξῆλθε. — || Ἀγέστρατος κεφα(λ)ᾶς [ἄ]λγος. Οὗτος ἀγρυπνίαις συνεχόμενος διὰ | τὸμ πόνον τᾶς κεφαλᾶ[ς], ὡς ἐν τῶι ἀβάτωι ἐγένετο, καθύπνωσε καὶ ἐν[ύ]||πνιον εἶδε· ἐδόκει αὐτὸν ὁ θεὸς ἰασάμενος τὸ τᾶς κεφαλᾶς ἄλγος ὀρ|θὸν ἀστάσας γυμνὸν παγ[κρ]ατίου προβολὰν διδάξαι. Ἁμέρας δὲ γενη|θείσας ὑγιὴς ἐξῆλθε καὶ οὐ μετὰ πολὺγ χρόνον τὰ Νέμεα ἐνίκασε [τὸ] | παγκράτιον. — Γοργίας Ἡρακλειώτας πύος. Οὗτος ἐμ μάχαι | τινὶ τρωθεὶς εἰς τὸμ πλ[ε]ύμονα τοξε[ύ]ματι ἐνιαυτὸγ καὶ ἑξάμηνον | ἔμπυος ἦς οὕτω σφοδρῶς, ὥστε ἑπτὰ καὶ ἑξήκοντα λεκάνας ἐνέπλησε | πύους. Ὡς δ' ἐνεκάθευδε, ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς τὰν ἀκίδα ἐξε|λεῖν ἐκ τοῦ πλεύμονος. Ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε τὰν [ἀκί]||δα ἐν ταῖς χερσὶ φέρων. — Ἀνδρομάχα ἐξ Ἀπείρο[υ] π[ερὶ παί]|δων. Αὕτα ἐγκαθεύδουσα ἐνύπνιον εἶδε· ἐδόκει αὐτᾶι τὸ ἔσθος ὁ θε|ὸς ἀγκαλύψαι, μετὰ δὲ τοῦτο τὸν θεὸν ἅψασθαι οὑ τᾶ[ς γαστρός. Ἐκ τού]|του τᾶι Ἀνδρομάχαι υ[ἱ]ὸς ἐξ Ἀρύβ|βα ἐγένετο. — Ἀ . . . . |ος ὀφθαλμούς. Οὗτος ἔν τινι μάχαι ὑπὸ δό[ρα]τος πλ[αγεὶς ἀμφοτέ]|ρων τῶν ὀφθαλμῶν τυφλὸς ἐγένετο καὶ τὰν λόγχαν [ἐνιαυτὸν ἐν τῶι] | προσώπωι περιέφερε. Ἐγκαθεύδων [δ]ὲ ὄψιν εἶδε· ἐδ[όκει οἱ τὸν θεὸν] | ἐξελκύσαντα τὸ βέλος εἰς τὰ β[λέφα]ρα τὰς καλουμ[ένας λογάδας πά]|λιν ἐναρμόξαι. Ἁμέρας δὲ γεν[ομένας] ὑγιὴς (ἐ)ξῆλθ[ε]. — | [Θ]έρσανδρος Ἁλι[κ]ὸς φθισικ[ός. Οὗτος] ἐγκαθεύδων ὄ[ψιν εἶδε· . . . . . || ἐ]ώρη ἐφ' ἁμάξας - - εἰς Ἁλιεῖς - - | [τ]ῶν ἰαρῶν ἐπι - - ος ἧς τὸ πολ - - | . . γμένος περ[ὶ τ]ὸ λ - - λον τῶν δ - - | . . ι τοῦ Θερσ[ά]νδρου - - οιοδρ - - | . . ς καταβὰ[ς τ]ὸν Θέρ[σανδρον - -] ε πολ - - || . . . . . . ουσας τὸ γεγε[νημένον] - - ουμ - - | . [τ]ὸ ἱερὸν εἰς Ἐπίδα[υρον - -] | . . [ἔ]δοξε τᾶι πόλι εἰς Δ[ελφοὺς - -] | . . . ωντι, ὁ δὲ θεὸς ἔχρ[ησε - -] | Ἀσκλαπιοῦ τέμενος κ - - || τὸ ἱαρὸν ἀναγγελθεν - - | ἱδρύσατο τέμενος Ἀσκλ[απιοῦ - - τὰ νομι]|σθέντα ἐπετέλεσε. — — - - [περὶ τέ]|κνων. Αὕτα ἐγκαθεύδου[σα ἐνύπνιον εἶδε· ἐδόκει οἱ τὸν θεὸν εἰπεῖν] | ἐσσεῖσθαι γενεὰγ καὶ ἐ[περωτῆν νιν - -] || τεραν, αὐτὰ δὲ φάμεν ἐπι [- - καὶ ἐκ τούτου ἐντὸς ἐνι]|αυτοῦ ἐγένετο αὐτᾶι υἱ[ός. — - - | Ἐπιδαύριος χωλός. Οὗτος [χωλὸς ἐὼν φοράδαν εἰς τὸ ἱερὸν ἀφίκετο.] | Ἐγκαθεύ-

δων δὲ ὄψιν εἶδε· [ἐδόκει οἱ ὁ θεὸς - -] | ποιτάσσειν αὐτῶι κλίμα[κα - - ἐ]‖πὶ τὸν ναόν, αὐτὸς δὲ τὸ με - - | . . . . . εν καὶ ἄνω ἐπὶ τοῦ θ[ρόνου - - | κ]αὶ τὰγ κλίμακα μικρὸν κα[τ - -] | πρᾶτον ἀγανακτῶν τ[ᾶ]ι πρά[ξι - - χω]λῶι ἐόντι ἀποτολμ . . . . Ἁμ[έρας δὲ γενομένας ἐκ τοῦ ἀβάτου ὑγιὴς ἐ]‖ξῆλθε. — Καφ[ι]σ[ίας - - Ἀσ]‖κλαπιοῦ θεραπεύμασιν ἐπ - -| δεται λέγων ὡς εἰ δύναμιν - - | τᾶς ὕβρ[ι]ος ποινὰς λαμβάνω[ν - -] | τοῦ Βουκεφάλα ἐν τᾶι ἕδραι - - ‖ μεν τὸμ πόδα παραχρῆμα καὶ - - | ὕ[σ]τερον δὲ πολλὰ καθικετεύ[σαντα ὑγιῆ ἐπόησε]. — | Κλειμένης Ἀργεῖος ἀκρατὴς [τοῦ σώματος. - - εἰς τὸ ἄβα]τον ἐνεκάθευδε καὶ ὄψιν εἶδ[ε· - - πε]‖ριελίξαι περὶ τὸ σῶμα καὶ μικ - - ‖ νιν ἐπί τινα λίμναν, ἇς τὸ ὕδωρ - - | δ' αὐτοῦ ἔθεν διακειμένου τὸν ἀ[- - πολ]‖λοὺς τῶν ἀνθρώπων εἰς ταῦτα φά[μεν - - ἀ]φικνῶνται εἰς τὸ τέμενος ἐόντε[ς - -] | τοιοῦτον ποιησοῖ ἀλλ' ὑγιῆ ἀποπ[εμψοῖ. Ἁμέρας δὲ γεγενημένας ἀσ]‖κηθὴς ἐξῆλθε. — Δίαιτος Κυρ[αναῖος. Οὗτος ἀκρατὴς ἐὼν ἐτύγχα]νε τῶν γονάτων. Ἐγκαθεύδων δὲ ἐνύ[πνιον εἶδε· ἐδόκει οἱ τὸν θεὸν] | τοὺς ὑπηρέτας κέλεσθαι ἀειραμέ[νους νιν ἐξενεγκεῖν ἐκ τοῦ ἀ]δύτο(υ) καὶ καταθέμεν πρὸ τοῦ ναοῦ, ἐ[πεὶ δὲ αὐτὸν οὗτοι ἔξω ἤνεγ]‖καν, ἅρμα ζεύξαντα τὸν (θ)ε(ὸ)ν ἵππων πε[ριέρχεσθαι πρὸ τοῦ ναοῦ κύ]‖κλωι καὶ καταπατεῖ(ν) νιν τοῖς ἵπποις, [καὶ ἐκ τούτου νιν ὀρθὸν γε]νέσθαι εὐθύς. Ἁμέρας δὲ γενομένας ὑγ[ιὴς ἐξῆλθε]. — . . . . . . | δα ἐκ Κέ(ο)υ. Αὕτα περὶ παίδων ἐγκαθεύδ[ουσα ἐνύπνιον εἶδε· ἐδό]‖κει οἱ ἐν τῶι ὕπνωι δράκων ἐπὶ τᾶς γαστ[ρὸς ἐλθεῖν. Καὶ ἐκ τούτου] | παῖδές οἱ ἐγένοντο πέντε. — Τίμω[ν . . . . λόγχαι τρω]‖θεὶς ὑπὸ τὸν ὀφθαλμόν. Οὗτος ἐγκαθεύδ[ων ἐνύπνιον εἶδε· ἐδό]‖κει οἱ ὁ θεὸς ποίαν τρίψας ἐγχεῖν εἰς τ[ὸν ὀφθαλμόν τι, καὶ ὑγι]ὴς ἐγένετο. — Ἐρασίππα ἐκ Καφυιᾶν. [Αὕτα . . . .] | εἶχε τὰγ γαστέρα καὶ ἐπέπρητο ὅλα καὶ ο[ὐκ ἐδύνατο ἕρπειν. Ἐγκα]‖θεύδουσα δὲ ἐνύπνιον εἶδε· ἐδόκει οἱ ὁ θε[ὸς τὰν γαστέρα ἀντρί]βων φιλῆσαί νιν, μετὰ δὲ τοῦτο φιάλαν οἱ δό[μεν φάρμακον ἔχουσαν] | καὶ κέλεσθαι ἐκπιεῖν, ἔπειτα ἐμεῖν κέλεσ[θαι . . . ., ἔπειτα] | δὲ ἐμπλῆσαι τὸ λώπιον τὸ αὐτᾶς. Ἁμέρας δὲ γ[ενομένας ὁρῆι αὕτα] | τὸ λώπιον μεστόν, ὧν ἐξήμεσε κακῶν, καὶ ἐκ το[ύτου ὑγιὴς ἐγένε]το. — Νικασιβούλα Μεθανία περὶ παιδό[ς. Αὕτα ἐγκαθεύδουσα] ‖ ἐνύπνιον εἶδε· ἐδόκει οἱ ὁ θεὸς δράκοντα μέ[γαν . . . .] | φέρων παρ' αὐτάν, τούτωι

δὲ συγγενέσθαι αὐτά[ν, καὶ ἐκ τούτου] παῖδές οἱ ἐγένοντο εἰς ἐνιαυτὸν ἔρσενες δ[ύο. — . . . .] | κιανός ποδάγραν. Τούτου ὕπαρ χὰν ποτιπορευο[μένου δάκνων] ‖ αὐτοῦ τοὺς πόδας καὶ ἐξαιμάσσων ὑγιῆ ἐπόη[σε].

Schrift wie vorher.

